A

ΕΥΡΙΠΙΔΗΣ, ΜΝΗΣΙΛΟΧΟΣ.

Ευ. Ερμῆ δόλιε. παυπὶ μὴν ἔπι καλῶς ποεῖς.
Σὺ μὴν οὖν ὑπότρεχε παιδάριον τοῦτο λαβών.
Εγὼ δὲ λύσω τόνδε. σὺ δ' ὅπως ἀνδρικῶς
Οτ' ἂν λυθῇς τάχιστα φεύξει καὶ τενεῖς
Ως πὼ γυναῖκα καὶ τὰ παιδί' οἴκαδε.
Μν. Εμοὶ μελήσει ταῦτα, λῦε ἅπαξ λυθῶ.
Ευ. Λέλυσο σὸν ἔργον. φεῦγε πρὶν τὸν τοξότην
Ηκοντα καταλαβεῖν. Μν. ἐγὼ δὴ τοῦτο δρῶ.

B

Bisetus. Ερμῆ δόλιε] τῆ Σκύθου πρὸς ἡδυπάθειαν, καὶ λαγνείαν ἀβούλως, καὶ ἀπρεπῶς κέπλως γραφέντος, καὶ μὴ κόρης ὑποχωρήσαντος, ἵνα τὸ ὑπὸ θυμούμενον πληρώσῃ, ὁ Εὐριπίδης καλλίστης εὐκαιρίας τυχὼν, ἔργον ὑπεχειρεῖ, ὅπερ ἐκτελεῖν ἐπόθει, καὶ τὸν βάρβαρον οὕτως ἀπατήσας, τὸν κηδεστὴν τῆς δεσμῆς ἀπολύει, καὶ κῆρυκα τάχος ἀποφυγεῖν κελεύει, πρὶν τὸν Σκύθην ἐπαναχωρεῖν πρὸς τὴν προτέραν φυλακὴν, ἣν Εὐριπίδης ἀγνώσας ἐπέτρεψεν Αφροδίτῃ χαριζόμενος. ὅτι δὲ τὸ πρᾶγμα τῆς Εὐριπίδη δόλοις χρησαμένῳ καλῶς ἐχώρησεν, ὁ αὐτὸς πρῶτον μὴν τὸν Ερμῆν δόλιον, τουτέστι δόλων ἔφορον, εὑρετὴν, καὶ τοῖς δολίοις συλλαμβάνοντα, ὡς καλῶς ποιοῦντα ἐπαινεῖ. ἔπειτα δὲ τὸ λοιπὸν ὅπη χειρεῖ, καὶ πρὸς τὸν τοξότην γραφεὶς ταῦτα λέγει. σὺ μὴν οὖν λαβὼν τοῦτο τὸ παιδάριον ὑπότρεχε. τὰ δ' ἑξῆς πρὸς τὸν Μνησίλοχον. παιδάριον δὲ καὶ Σουίδας οὐ μόνον ὅτι τῆς ἀρρένων, ἀλλὰ καὶ ὅτι παρθένων λέγεται.

C

ὑπότρεχε ὦ, καὶ τάχος, ἢ ὡς τάχιστα ὑπόφευγε.

Bourdinus. Απότρεχε] ἄπελθε ταχέως. Τενεῖς] πορεύσει καὶ πορεύσει.

Bisetus. Τενεῖς] γέγραπται τενεῖ. ἀλλὰ μηδὲν κίνει. τὸ γὰρ τενεῖς καλῶς ἔχει. τείνειν δὲ νῦν δηλοῖ τὸ σωτόνως πρὸς χωρεῖν. Σὸν ἔργον] ὁ νοῦς. ἐπεὶ νῦν παρὰ πᾶσαν ἐλπίδα ἐλέλυσο, εἴτε ἐλύθης ἐκ τῆς δεσμῆς, ἐν οἷς πρότερον δεθεὶς κατείχου, τὸ σὸν ἔργον ποίει, ὡς τάχιστα ἐντεῦθεν ὑπόφευγε πρὶν τὸν τοξότην ἐπανελθεῖν δεῦρο, καὶ σὲ καταλαβεῖν. σημείωσαι δὲ καὶ αὐτὸν τὸν Εὐριπίδου κῆρυκα τὸ σιωπώμενον ἅμα τῷ Μνησιλόχῳ ἀπελθεῖν, ἵνα μὴ ὑπὸ τῆ Σκύθου καταληφθεὶς, τῆς ἑαυτοῦ δόλων, καὶ τεχνῶν κακόν τι πάθοι.

D

ΣΚΥΘΗΣ, ΧΟΡΟΣ.

Σκ. Ω γραδί' ὡς καείη σοι τὸ τυγάδιον,
Κοὐ δύσκολ' ἀλλὰ πρᾶο. ποῦ τὸ γραδίο;
Οἴμ' ὡς ἀπόλωλον. ποῦ τὸ γέροντ' ἐντευτενί.
Ω γραδί' ὦ γρᾶο. οὐκ ἐπαινῶ γραδίο.
Αρταμουξία
Διέβαλλέ μ' ὁ γραῦς. ἀπόζεκ' ὡς τάχιστα σύ.
Ορτῶς ὦ συβλωνίστι. καταβλωῆσι γάρ.
Οἴμοι. τί δράσω. ποῖ τὸ γραδίο.
Αρταμουξία.
Χο. Τίνα γραῦν ἐρωτᾷς. ἢ φέρεν τὰς πηκτίδας.
Σκ. Ναὶ ναὶ. εἶδες αὐτό. Χο. ταύτην γ' οἴχεται
Αὐτή τ' ἐκείνη, καὶ γέρων τις εἵπετο.

E

Bourdinus. Δύσκολ'] χαλεπὴ, δυσάρεστος. Εντευθενὶ] ἐντεῦθεν εἶλθεν. Καταβλωῆσι] ἐξηπάτησας γὰρ καὶ παρεκρούσω ἐμέ. Πηκτίδας] εἶδος ὀργάνου κιθαρωδικοῦ, ἢ ἀκολάστου χήματος.

Bisetus. Ω γραδί] ὁ Σκύθης τὰς Εὐριπίδου τέχνας ἐκαταμαθὼν, μὴ τὸ πληρῶσαι τὰ τῆ ὑπθυμίας ἐπανῆλθε πρὸς τὴν γραῦν, ἢ τῶ γέροντος Μνησιλόχου φυλακὴν ἐπέτρεψεν, ἀγνοῶν τὴν Εὐριπίδου γραῦς προσωπεῖον λαβόντα. ἐπανελθὼν ὦ ἤδη, ὡς νομίζων ταύτην τὴν γραῦν εὑρήσειν, ἐν αὐτῇ τῇ ὁδῷ ὤν, πόρρωθεν ὁ βάρβαρος βαρβαρικῶς, τυλέστιν ἀβέβαιος, καὶ ἀνοήτως πρὸς τὴν ὑποῦσαν, ὡς πρὸς παροῦσαν ταῦτα λέγει, ὦ γραδίον, ὡς χαίειν σοὶ τὸ θυγάτριον, κοὐ δύσκολον, ἀλλὰ πρᾶον. Οὐχ εὑρὼν δὲ οὔτε τὴν γραῦν, ἥπερ Αρτεμισία καλεῖσθαι προσεποιεῖτο, οὔτε τὸν γέροντα εἰς φυλακὴν αὐτῇ πεμφθέντα, καὶ πιστευθέντα, τότε δὴ ἀναβοῶν ταῦτα προφέρει, ποῦ τὸ γραδίον; οἴμοι ὡς ἀπόλωλα. ποῦ ὁ γέρων ἐντεῦθεν ἀπέδρα; ὦ γραδίον. ὦ γραῦ. οὐκ ἐπαινῶ τὸ γραδίον. ὦ Αρτεμισία. τῆς ὅλη ἡ γραῦς ἐφενάκισε, καὶ ἐξηπάτησε με. ἀπότρεχε ὡς τάχιστα σύ. Τὸ δὴ ἀπότρεχε ὁ Σκύθης πρὸς αὐτὸν λέγει, προτρέπων ἑαυτὸν πρὸς ταχίστην ἀναζήτησιν τοῦ ἀποφυγόντος. Τοῦτο δὲ ποιεῖ. καὶ ἀπολωλέναι λέγει, ὅτι τοῖς φύλαξιν, ἐὰν τὸς φυλασσομένους

F

G

SCYTHA, CHORVS.

Sc. O anicula, quàm venusta tibi filiola,
Et non morosa, sed mitis. ubinam est anicula?
Hei mihi quàm perij, vbi est senex hinc?
O anicula ô anus, non laudo ô anicula Artamuxia.
Decepit me anus, curre quàm celerrimè tu.
Rectè autem tu concumbis, defraudasti enim.
Hei mihi, quidnam faciam? quo anicula
Artamuxia?
CHO. Anum rogas, quæ attulit tibias & sonos?
Sc. Nænæ, vidisti ipsam? CHO. Hàc quidem abit.
Sc. Ipsáque illa. CHO. & senex quidam sequebatur.

E

F

G

μένους